ἀχύρων, οὐ μύλην ἔστρεφον, οὐ κλίβανον ᾠκοδόμουν, οὐ ξύλα καὶ πῦρ εἰς τὴν οἰκίαν εἰσῆγον, οὐκ ἀρτοποιητικῆς ἐδέοντο τέχνης, οὐ μάκελαν μετεχείριζον, οὐ δρεπάνην ἠκόνουν, οὐκ ἄλλης τινὸς ἐδέοντο τέχνης, ὑφαντικῆς λέγω καὶ οἰκοδομικῆς, καὶ τῆς τὰ ὑποδήματα πλεκούσης· ἀλλὰ πάντα ἦν αὐτοῖς ὁ τοῦ θεοῦ λόγος. καὶ ἐσχεδιασμένην εἶχον τράπεζαν, ἱδρώτων καὶ πόνων ἀπηλλαγμένην, τοιαύτη γὰρ ἡ τοῦ μάννα φύσις νεαρά τε, καὶ πρόσφατος, καὶ οὐδαμοῦ παρέχουσα αὐτοῖς πράγματα, οὐδὲ κατατείνουσα πόνῳ· καὶ τὰ ἱμάτια δὲ αὐτοῖς καὶ τὰ ὑποδήματα, καὶ αὐτὴ ἡ τοῦ σώματος φύσις τῆς οἰκείας ἐπελανθάνετο ἀσθενείας. ἐν γὰρ χρόνῳ οὕτω μακρῷ, οὔτε ἐκεῖνα ἐτρίβετο, οὔτε

*paleis, non molam versabant, non clibanum ædificabant, non ligna & ignem domum inferebant, non panifica egebant arte, non ligonem tractabant, non falcem acuebant, non aliqua alia indigebant arte, textoria, inquam, architectonica, & sutoria: sed omnia eis erat verbum DEI. Mensam habebant paratam ex tempore, sudoribus & laboribus vacuam. Eius enim naturæ erat manna, recens, nnsquam ipsis negotia facessens, neque labore conficiens.*

*Iam vestimenta eorum & calcei & ipsa corporis natura quodammodo suæ fragilitatis obliuiscebantur. tempore enim ita longo neque illa terebantur, neque*

*pedes*